Eulogikon

Ancient Greek Texts — Free & Open source

eul_wid: rto-aa

*Παροδικά Ἀνώνυμα* · Parodica Anonyma

# Fragments of Uncertain Works

*Ἀποσπάσματα Ἀδήλων Ἔργων*

**Period:** *Ῥωμαϊκή* Roman
**Dialect:** *Ἀττικίζουσα λογοτεχνική* Atticizing Literary
**Domain:** *Ποίησις* Poetry
**Format:** *Ἔμμετρος* Verse

book 1 τοῖς δ’ ὁ κόλαξ πάμπρωτος ὑφαίνειν ἤρχετο μῶκον·
book 2 πλήρης μὲν λαχάνων ἀγορή, πλήρης δὲ καὶ ἄρτων.
book 3.1 τέτλαθι δὴ πενίη καὶ ἀνάσχεο μωρολογούντων· ὄψων γὰρ
book 3.2 πλῆθός
book 3.3 σε δαμᾷ καὶ λιμὸς ἀτερπής.
book 4 οὓς ἐδίδαξαν ἀριστερὰ γράμματα Μοῦσαι
book 5 ἔστειχε δ’ ἔχων ὑπὸ ποσσὶ χίμεθλα
book 6 Ἑρμοκαϊκόξανθος ἐπευξάμενος Διὶ πατρί·
book 7.1 ὦ βροτολοιγέ, πόσους σὺ 〈βρο〉 τῶν Ἄιδι
book 7.2 προΐαψας;
book 8a.1 ἅρματα δ’ ἄλλοτε μὲν
book 8a.2 χθονὶ πίλνατο
book 8a.3 πουλοβοτείρῃ, ἄλλοτε δ’ ἀίξασκε μετήορα· τοὶ δὲ θεαταὶ θώκοις ἐν
book 8a.4 σφετέροις οὔθ’ ἕστασαν οὐδὲ κάθηντο
book 8a.5 χλωροὶ ὑπαὶ δείους
book 8a.6 πεφοβημένοι, οἱ δ’ ὑπὸ νείκης[ln_5]ἀλλήλοισί τε κεκλόμενοι καὶ πᾶσι θεοῖσι
book 8a.7 χεῖρας ἀνίσχοντες μεγάλ’ εὐχετόωντο ἕκαστοι. [para]ἠύτε
book 8a.8 περ κλαγγὴ γεράνων πέλει ἠεροφώνων ὧς ἐπεὶ οὖν ζῦθόν τ’ ἔπιον καὶ ἀθέσφατον οἶνον, κλαγγῇ τοί γε πέτονται ἐπὶ σταδίοιο κελεύθου.
book 8a.1 [ln_10]οἱ δ’, ὥστε
book 8a.2 ψαρῶν νέφος ἔρχεται ἠὲ κολοιῶν, οὖλον κεκλήγοντες, ὅτε
book 8a.3 προίδωσιν ἰόντα ἵππον, ὃς ἀνθρώποισι πόνον φέρει ἠλιθίοισιν, ὣς οἱ κεκλήγοντες ἐπ’ ἀλλήλοισιν ἔπιπτον. [para]ὡς δ’ ἄνεμος ἄχνας
book 8a.4 φορέει ἱερὰς κατ’ ἀλῳάς,[ln_15]ὡς δ’ ἀναμαιμάει βαθέ’ ἄγκεα θεσπιδαὲς πῦρ, πάντῃ δ’ εἰλυφόων ἄνεμος φέρει, οἱ δέ τε θάμνοι
book 8a.5

Eulogikon public reading copy · View original HTML at eulogikon.org

πρόρριζοι πίπτουσιν ἐπειγόμενοι

book 8a.6 πυρὸς ὁρμῇ· ὣς οἱ μὲν μάρναντο

book 8a.7 πυρὸς δέμας, οὐδέ κε

book 8a.8 φαίης οὐδέ ποτ’ ἠέλιον σόον ἔμμεναι οὔτε

book 8a.9 σελήνην.

book 8a.1 [ln_20]οἵη

book 8a.2 περ φύλλων γενεή, τοίη δὲ καὶ ἀνδρῶν, ἀνδρῶν κουφονόων

book 8a.3 φιλαεθλοτάτων ἀγερώχων. ἠχὴ δ’ ἀμφοτέρων ἵκετ’ αἰθέρα καὶ Διὸς αὐγάς. ὧδε δέ τις εἴπεσκεν ἰδὼν ἐς

book 8a.4 πλησίον ἄλλον· [para]‘οἰνοβαρές, κυνὸς ὄμματ’ ἔχων, κραδίην δ’ ἐλάφοιο,[ln_25]τί πτώσσεις; τί δ’ ὀπιπτεύεις κατὰ τέρμ’ ἐν ἀγῶνι; εἰ δ’ ἄγε νῦν

book 8a.5 πείρησαι, ἵνα καφθεὶς ἀποτίνῃς.‘ [para]τὸν δ’ αὖθ’ Ἱπποκόων ἀπαμειβόμενος

book 8a.6 προσέειπε· [para]‘τέττα, σιωπῇ ἧσο, ἐμῷ δ’ ἐπιπείθεο μύθῳ· ἠπεδανὸς δέ νύ τοι θεράπων, βραδέες δέ τοι ἵπποι.‘[ln_30]τὸν δ’ ἄρ’ ὑπὸ ζυγόφιν

book 8a.7 προσέφη πόδας αἰόλος ἵππος· [para]‘οὐχ ὁράᾳς, οἷος κἀγὼ καλός

book 8a.8 τε μέγας

book 8a.9 τε; ἀλλ’ ἔπι

book 8a.10 τοι κἀμοὶ θάνατος καὶ Μοῖρα κραταιή.

book 8a.1 αἲ γάρ

book 8a.2 πως ὑμᾶς γε καὶ αὐτοὺς ἐνθάδε πάντας ὁπλήεντας ἔθηκε θεὰ λευκώλενος Ἥρη,[ln_35]ὡς μή μοι

book 8a.3 τρύζητε καθήμενοι ἄλλοθεν ἄλλος.‘ ὣς ἔφαθ’· οἱ δ’ εὔχοντο Διὶ Κρονίωνι ἄνακτι.

book 8b.1 μῖμοι τ’ ὀρχησταί τε

book 8b.2 χοροιτυπίῃσιν ἄριστοι ἵππων τ’ ὠκυπόδων ἐπιβήτορες, οἵ κε τάχιστα ἤγειραν μέγα νεῖκος ἀπαιδεύτοισι θεαταῖς νηπιάχοις, ξυνὸν δὲ κακὸν

book 8b.3 πολέεσσι φέρουσιν.

book 9.1 τὸ στάδιον δὲ λαγωὸς ἀποίσεται, ἐν δὲ διαύλῳ δορκὰς ἀριστεύσει· μερόπων δ’ ἐναρίθμιος οὐδεὶς[ln_15]ἐν

book 9.2 ποσίν. ὦ κοῦφοι ἀσκήτορες, ἄθλιοι ἄνδρες.[ln_22]εἰκοστὴ καὶ πρώτη Ὀλυμπιὰς ἦν, ὅτ’ ἐνίκα ὀγκητής.

Eulogikon public reading copy · View original HTML at eulogikon.org